530.a.1 {ΣΩ.} Τὸν Ἴωνα χαίρειν. πόθεν τὰ νῦν ἡμῖν ἐπιδεδή-
530.a.2 μηκας; ἢ οἴκοθεν ἐξ Ἐφέσου;
530.a.3 {ΙΩΝ.} Οὐδαμῶς, ὦ Σώκρατες, ἀλλ᾽ ἐξ Ἐπιδαύρου ἐκ τῶν
530.a.4 Ἀσκληπιείων.
530.a.5 {ΣΩ.} Μῶν καὶ ῥαψῳδῶν ἀγῶνα τιθέασιν τῷ θεῷ οἱ
530.a.6 Ἐπιδαύριοι;
530.a.7 {ΙΩΝ.} Πάνυ γε, καὶ τῆς ἄλλης γε μουσικῆς.
530.a.8 {ΣΩ.} Τί οὖν; ἠγωνίζου τι ἡμῖν; καὶ πῶς τι ἠγωνίσω;
530.b.1 {ΙΩΝ.} Τὰ πρῶτα τῶν ἄθλων ἠνεγκάμεθα, ὦ Σώκρατες.
530.b.2 {ΣΩ.} Εὖ λέγεις· ἄγε δὴ ὅπως καὶ τὰ Παναθήναια νική-
530.b.3 σομεν.
530.b.4 {ΙΩΝ.} Ἀλλ᾽ ἔσται ταῦτα, ἐὰν θεὸς ἐθέλῃ.
530.b.5 {ΣΩ.} Καὶ μὴν πολλάκις γε ἐζήλωσα ὑμᾶς τοὺς ῥαψῳδούς,
530.b.6 ὦ Ἴων, τῆς τέχνης· τὸ γὰρ ἅμα μὲν τὸ σῶμα κεκοσμῆσθαι
530.b.7 ἀεὶ πρέπον ὑμῶν εἶναι τῇ τέχνῃ καὶ ὡς καλλίστοις φαί-
530.b.8 νεσθαι, ἅμα δὲ ἀναγκαῖον εἶναι ἔν τε ἄλλοις ποιηταῖς δια-
530.b.9 τρίβειν πολλοῖς καὶ ἀγαθοῖς καὶ δὴ καὶ μάλιστα ἐν Ὁμήρῳ,
530.b.10 τῷ ἀρίστῳ καὶ θειοτάτῳ τῶν ποιητῶν, καὶ τὴν τούτου διά-
530.c.1 νοιαν ἐκμανθάνειν, μὴ μόνον τὰ ἔπη, ζηλωτόν ἐστιν. οὐ
530.c.2 γὰρ ἂν γένοιτό ποτε ἀγαθὸς ῥαψῳδός, εἰ μὴ συνείη τὰ
530.c.3 λεγόμενα ὑπὸ τοῦ ποιητοῦ. τὸν γὰρ ῥαψῳδὸν ἑρμηνέα δεῖ
530.c.4 τοῦ ποιητοῦ τῆς διανοίας γίγνεσθαι τοῖς ἀκούουσι· τοῦτο δὲ
530.c.5 καλῶς ποιεῖν μὴ γιγνώσκοντα ὅτι λέγει ὁ ποιητὴς ἀδύνατον.
530.c.6 ταῦτα οὖν πάντα ἄξια ζηλοῦσθαι.
530.c.7 {ΙΩΝ.} Ἀληθῆ λέγεις, ὦ Σώκρατες· ἐμοὶ γοῦν τοῦτο
530.c.8 πλεῖστον ἔργον παρέσχεν τῆς τέχνης, καὶ οἶμαι κάλλιστα
530.c.9 ἀνθρώπων λέγειν περὶ Ὁμήρου, ὡς οὔτε Μητρόδωρος ὁ
530.d.1 Λαμψακηνὸς οὔτε Στησίμβροτος ὁ Θάσιος οὔτε Γλαύκων
530.d.2 οὔτε ἄλλος οὐδεὶς τῶν πώποτε γενομένων ἔσχεν εἰπεῖν οὕτω

530.d.3 πολλὰς καὶ καλὰς διανοίας περὶ Ὁμήρου ὅσας ἐγώ.
530.d.4 {ΣΩ.} Εὖ λέγεις, ὦ Ἴων· δῆλον γὰρ ὅτι οὐ φθονήσεις
530.d.5 μοι ἐπιδεῖξαι.
530.d.6 {ΙΩΝ.} Καὶ μὴν ἄξιόν γε ἀκοῦσαι, ὦ Σώκρατες, ὡς εὖ
530.d.7 κεκόσμηκα τὸν Ὅμηρον· ὥστε οἶμαι ὑπὸ Ὁμηριδῶν ἄξιος
530.d.8 εἶναι χρυσῷ στεφάνῳ στεφανωθῆναι.
530.d.9 {ΣΩ.} Καὶ μὴν ἐγὼ ἔτι ποιήσομαι σχολὴν ἀκροάσασθαί
531.a.1 σου, νῦν δέ μοι τοσόνδε ἀπόκριναι· πότερον περὶ Ὁμήρου
531.a.2 μόνον δεινὸς εἶ ἢ καὶ περὶ Ἡσιόδου καὶ Ἀρχιλόχου;
531.a.3 {ΙΩΝ.} Οὐδαμῶς, ἀλλὰ περὶ Ὁμήρου μόνον· ἱκανὸν γάρ
531.a.4 μοι δοκεῖ εἶναι.
531.a.5 {ΣΩ.} Ἔστι δὲ περὶ ὅτου Ὅμηρός τε καὶ Ἡσίοδος ταὐτὰ
531.a.6 λέγετον; {—ΙΩΝ.} Οἶμαι ἔγωγε καὶ πολλά. {—ΣΩ.} Πότερον
531.a.7 οὖν περὶ τούτων κάλλιον ἂν ἐξηγήσαιο ἃ Ὅμηρος λέγει
531.a.8 ἢ ἃ Ἡσίοδος; {—ΙΩΝ.} Ὁμοίως ἂν περί γε τούτων, ὦ
531.b.1 Σώκρατες, περὶ ὧν ταὐτὰ λέγουσιν. {—ΣΩ.} Τί δὲ ὧν
531.b.2 πέρι μὴ ταὐτὰ λέγουσιν; οἷον περὶ μαντικῆς λέγει τι
531.b.3 Ὅμηρός τε καὶ Ἡσίοδος. {—ΙΩΝ.} Πάνυ γε. {—ΣΩ.} Τί
531.b.4 οὖν; ὅσα τε ὁμοίως καὶ ὅσα διαφόρως περὶ μαντικῆς
531.b.5 λέγετον τὼ ποιητὰ τούτω, πότερον σὺ κάλλιον ἂν ἐξη-
531.b.6 γήσαιο ἢ τῶν μάντεών τις τῶν ἀγαθῶν; {—ΙΩΝ.} Τῶν
531.b.7 μάντεων. {—ΣΩ.} Εἰ δὲ σὺ ἦσθα μάντις, οὐκ, εἴπερ περὶ
531.b.8 τῶν ὁμοίως λεγομένων οἷός τ᾽ ἦσθα ἐξηγήσασθαι, καὶ περὶ
531.b.9 τῶν διαφόρως λεγομένων ἠπίστω ἂν ἐξηγεῖσθαι; {—ΙΩΝ.}
531.b.10 Δῆλον ὅτι.
531.c.1 {ΣΩ.} Τί οὖν ποτε περὶ μὲν Ὁμήρου δεινὸς εἶ, περὶ δὲ
531.c.2 Ἡσιόδου οὔ, οὐδὲ τῶν ἄλλων ποιητῶν; ἢ Ὅμηρος περὶ
531.c.3 ἄλλων τινῶν λέγει ἢ ὧνπερ σύμπαντες οἱ ἄλλοι ποιηταί;
531.c.4 οὐ περὶ πολέμου τε τὰ πολλὰ διελήλυθεν καὶ περὶ ὁμιλιῶν

531.c.5 πρὸς ἀλλήλους ἀνθρώπων ἀγαθῶν τε καὶ κακῶν καὶ ἰδιωτῶν
531.c.6 καὶ δημιουργῶν, καὶ περὶ θεῶν πρὸς ἀλλήλους καὶ πρὸς
531.c.7 ἀνθρώπους ὁμιλούντων, ὡς ὁμιλοῦσι, καὶ περὶ τῶν οὐρανίων
531.c.8 παθημάτων καὶ περὶ τῶν ἐν Ἅιδου, καὶ γενέσεις καὶ θεῶν
531.d.1 καὶ ἡρώων; οὐ ταῦτά ἐστι περὶ ὧν Ὅμηρος τὴν ποίησιν
531.d.2 πεποίηκεν;
531.d.3 {ΙΩΝ.} Ἀληθῆ λέγεις, ὦ Σώκρατες.
531.d.4 {ΣΩ.} Τί δὲ οἱ ἄλλοι ποιηταί; οὐ περὶ τῶν αὐτῶν
531.d.5 τούτων;
531.d.6 {ΙΩΝ.} Ναί, ἀλλ᾽, ὦ Σώκρατες, οὐχ ὁμοίως πεποιήκασι
531.d.7 καὶ Ὅμηρος.
531.d.8 {ΣΩ.} Τί μήν; κάκιον;
531.d.9 {ΙΩΝ.} Πολύ γε.
531.d.10 {ΣΩ.} Ὅμηρος δὲ ἄμεινον;
531.d.11 {ΙΩΝ.} Ἄμεινον μέντοι νὴ Δία.
531.d.12 {ΣΩ.} Οὐκοῦν, ὦ φίλη κεφαλὴ Ἴων, ὅταν περὶ ἀριθμοῦ
531.d.13 πολλῶν λεγόντων εἷς τις ἄριστα λέγῃ, γνώσεται δήπου τις
531.e.1 τὸν εὖ λέγοντα; {—ΙΩΝ.} Φημί. {—ΣΩ.} Πότερον οὖν ὁ αὐτὸς
531.e.2 ὅσπερ καὶ τοὺς κακῶς λέγοντας, ἢ ἄλλος; {—ΙΩΝ.} Ὁ αὐτὸς
531.e.3 δήπου. {—ΣΩ.} Οὐκοῦν ὁ τὴν ἀριθμητικὴν τέχνην ἔχων οὗτός
531.e.4 ἐστιν; {—ΙΩΝ.} Ναί. {—ΣΩ.} Τί δ᾽; ὅταν πολλῶν λεγόντων
531.e.5 περὶ ὑγιεινῶν σιτίων ὁποῖά ἐστιν, εἷς τις ἄριστα λέγῃ,
531.e.6 πότερον ἕτερος μέν τις τὸν ἄριστα λέγοντα γνώσεται ὅτι
531.e.7 ἄριστα λέγει, ἕτερος δὲ τὸν κάκιον ὅτι κάκιον, ἢ ὁ αὐτός; {—
531.e.8 ΙΩΝ.} Δῆλον δήπου, ὁ αὐτός. {—ΣΩ.} Τίς οὗτος; τί ὄνομα
531.e.9 αὐτῷ; {—ΙΩΝ.} Ἰατρός. {—ΣΩ.} Οὐκοῦν ἐν κεφαλαίῳ λέγομεν
531.e.10 ὡς ὁ αὐτὸς γνώσεται ἀεί, περὶ τῶν αὐτῶν πολλῶν λεγόν-
532.a.1 των, ὅστις τε εὖ λέγει καὶ ὅστις κακῶς· ἢ εἰ μὴ γνώσεται
532.a.2 τὸν κακῶς λέγοντα, δῆλον ὅτι οὐδὲ τὸν εὖ, περί γε τοῦ

532.a.3 αὐτοῦ. {—ΙΩΝ.} Οὕτως. {—ΣΩ.} Οὐκοῦν ὁ αὐτὸς γίγνεται δεινὸς
532.a.4 περὶ ἀμφοτέρων; {—ΙΩΝ.} Ναί. {—ΣΩ.} Οὐκοῦν σὺ φῄς καὶ
532.a.5 Ὅμηρον καὶ τοὺς ἄλλους ποιητάς, ἐν οἷς καὶ Ἡσίοδος καὶ
532.a.6 Ἀρχίλοχός ἐστιν, περί γε τῶν αὐτῶν λέγειν, ἀλλ᾽ οὐχ
532.a.7 ὁμοίως, ἀλλὰ τὸν μὲν εὖ γε, τοὺς δὲ χεῖρον; {—ΙΩΝ.} Καὶ
532.a.8 ἀληθῆ λέγω. {—ΣΩ.} Οὐκοῦν, εἴπερ τὸν εὖ λέγοντα γιγνώ-
532.b.1 σκεις, καὶ τοὺς χεῖρον λέγοντας γιγνώσκοις ἂν ὅτι χεῖρον
532.b.2 λέγουσιν. {—ΙΩΝ.} Ἔοικέν γε. {—ΣΩ.} Οὐκοῦν, ὦ βέλτιστε,
532.b.3 ὁμοίως τὸν Ἴωνα λέγοντες περὶ Ὁμήρου τε δεινὸν εἶναι καὶ
532.b.4 περὶ τῶν ἄλλων ποιητῶν οὐχ ἁμαρτησόμεθα, ἐπειδή γε
532.b.5 αὐτὸς ὁμολογῇ τὸν αὐτὸν ἔσεσθαι κριτὴν ἱκανὸν πάντων
532.b.6 ὅσοι ἂν περὶ τῶν αὐτῶν λέγωσι, τοὺς δὲ ποιητὰς σχεδὸν
532.b.7 ἅπαντας τὰ αὐτὰ ποιεῖν.
532.b.8 {ΙΩΝ.} Τί οὖν ποτε τὸ αἴτιον, ὦ Σώκρατες, ὅτι ἐγώ, ὅταν
532.b.9 μέν τις περὶ ἄλλου του ποιητοῦ διαλέγηται, οὔτε προσέχω
532.c.1 τὸν νοῦν ἀδυνατῶ τε καὶ ὁτιοῦν συμβαλέσθαι λόγου ἄξιον,
532.c.2 ἀλλ᾽ ἀτεχνῶς νυστάζω, ἐπειδὰν δέ τις περὶ Ὁμήρου μνησθῇ,
532.c.3 εὐθύς τε ἐγρήγορα καὶ προσέχω τὸν νοῦν καὶ εὐπορῶ ὅτι
532.c.4 λέγω;
532.c.5 {ΣΩ.} Οὐ χαλεπὸν τοῦτό γε εἰκάσαι, ὦ ἑταῖρε, ἀλλὰ παντὶ
532.c.6 δῆλον ὅτι τέχνῃ καὶ ἐπιστήμῃ περὶ Ὁμήρου λέγειν ἀδύνατος
532.c.7 εἶ· εἰ γὰρ τέχνῃ οἷός τε ἦσθα, καὶ περὶ τῶν ἄλλων ποιητῶν
532.c.8 ἁπάντων λέγειν οἷός τ᾽ ἂν ἦσθα· ποιητικὴ γάρ πού ἐστιν
532.c.9 τὸ ὅλον. ἢ οὔ;
532.c.10 {ΙΩΝ.} Ναί.
532.d.1 {ΣΩ.} Οὐκοῦν ἐπειδὰν λάβῃ τις καὶ ἄλλην τέχνην ἡντι-
532.d.2 νοῦν ὅλην, ὁ αὐτὸς τρόπος τῆς σκέψεως ἔσται περὶ ἁπασῶν
532.d.3 τῶν τεχνῶν; πῶς τοῦτο λέγω, δέῃ τί μου ἀκοῦσαι, ὦ Ἴων;
532.d.4 {ΙΩΝ.} Ναὶ μὰ τὸν Δία, ὦ Σώκρατες, ἔγωγε· χαίρω γὰρ

532.d.5 ἀκούων ὑμῶν τῶν σοφῶν.
532.d.6 {ΣΩ.} Βουλοίμην ἄν σε ἀληθῆ λέγειν, ὦ Ἴων· ἀλλὰ σοφοὶ
532.d.7 μέν πού ἐστε ὑμεῖς οἱ ῥαψῳδοὶ καὶ ὑποκριταὶ καὶ ὧν ὑμεῖς
532.d.8 ᾄδετε τὰ ποιήματα, ἐγὼ δὲ οὐδὲν ἄλλο ἢ τἀληθῆ λέγω,
532.e.1 οἷον εἰκὸς ἰδιώτην ἄνθρωπον. ἐπεὶ καὶ περὶ τούτου οὗ νῦν
532.e.2 ἠρόμην σε, θέασαι ὡς φαῦλον καὶ ἰδιωτικόν ἐστι καὶ παντὸς
532.e.3 ἀνδρὸς γνῶναι ὃ ἔλεγον, τὴν αὐτὴν εἶναι σκέψιν, ἐπειδάν
532.e.4 τις ὅλην τέχνην λάβῃ. λάβωμεν γὰρ τῷ λόγῳ· γραφικὴ
532.e.5 γάρ τίς ἐστι τέχνη τὸ ὅλον; {—ΙΩΝ.} Ναί. {—ΣΩ.} Οὐκοῦν
532.e.6 καὶ γραφῆς πολλοὶ καὶ εἰσὶ καὶ γεγόνασιν ἀγαθοὶ καὶ φαῦ-
532.e.7 λοι; {—ΙΩΝ.} Πάνυ γε. {—ΣΩ.} Ἤδη οὖν τινα εἶδες ὅστις περὶ
532.e.8 μὲν Πολυγνώτου τοῦ Ἀγλαοφῶντος δεινός ἐστιν ἀποφαί-
532.e.9 νειν ἃ εὖ τε γράφει καὶ ἃ μή, περὶ δὲ τῶν ἄλλων γραφέων
533.a.1 ἀδύνατος; καὶ ἐπειδὰν μέν τις τὰ τῶν ἄλλων ζωγράφων
533.a.2 ἔργα ἐπιδεικνύῃ, νυστάζει τε καὶ ἀπορεῖ καὶ οὐκ ἔχει ὅτι
533.a.3 συμβάληται, ἐπειδὰν δὲ περὶ Πολυγνώτου ἢ ἄλλου ὅτου
533.a.4 βούλει τῶν γραφέων ἑνὸς μόνου δέῃ ἀποφήνασθαι γνώμην,
533.a.5 ἐγρήγορέν τε καὶ προσέχει τὸν νοῦν καὶ εὐπορεῖ ὅτι εἴπῃ; {—
533.a.6 ΙΩΝ.} Οὐ μὰ τὸν Δία, οὐ δῆτα. {—ΣΩ.} Τί δέ; ἐν ἀνδριαντο-
533.a.7 ποιίᾳ ἤδη τιν΄ εἶδες ὅστις περὶ μὲν Δαιδάλου τοῦ Μητίονος
533.b.1 ἢ Ἐπειοῦ τοῦ Πανοπέως ἢ Θεοδώρου τοῦ Σαμίου ἢ ἄλλου
533.b.2 τινὸς ἀνδριαντοποιοῦ ἑνὸς πέρι δεινός ἐστιν ἐξηγεῖσθαι ἃ
533.b.3 εὖ πεποίηκεν, ἐν δὲ τοῖς τῶν ἄλλων ἀνδριαντοποιῶν ἔργοις
533.b.4 ἀπορεῖ τε καὶ νυστάζει, οὐκ ἔχων ὅτι εἴπῃ; {—ΙΩΝ.} Οὐ μὰ
533.b.5 τὸν Δία, οὐδὲ τοῦτον ἑώρακα. {—ΣΩ.} Ἀλλὰ μήν, ὥς γ΄ ἐγὼ
533.b.6 οἶμαι, οὐδ΄ ἐν αὐλήσει γε οὐδὲ ἐν κιθαρίσει οὐδὲ ἐν κιθαρῳδίᾳ
533.b.7 οὐδὲ ἐν ῥαψῳδίᾳ οὐδεπώποτ΄ εἶδες ἄνδρα ὅστις περὶ μὲν
533.b.8 Ὀλύμπου δεινός ἐστιν ἐξηγεῖσθαι ἢ περὶ Θαμύρου ἢ περὶ
533.c.1 Ὀρφέως ἢ περὶ Φημίου τοῦ Ἰθακησίου ῥαψῳδοῦ, περὶ δὲ

533.c.2 Ἴωνος τοῦ Ἐφεσίου [ῥαψῳδοῦ] ἀπορεῖ καὶ οὐκ ἔχει συμβα-
533.c.3 λέσθαι ἅ τε εὖ ῥαψῳδεῖ καὶ ἃ μή.
533.c.4 {ΙΩΝ.} Οὐκ ἔχω σοι περὶ τούτου ἀντιλέγειν, ὦ Σώκρατες·
533.c.5 ἀλλ´ ἐκεῖνο ἐμαυτῷ σύνοιδα, ὅτι περὶ Ὁμήρου κάλλιστ´
533.c.6 ἀνθρώπων λέγω καὶ εὐπορῶ καὶ οἱ ἄλλοι πάντες μέ φασιν
533.c.7 εὖ λέγειν, περὶ δὲ τῶν ἄλλων οὔ. καίτοι ὅρα τοῦτο τί
533.c.8 ἔστιν.
533.c.9 {ΣΩ.} Καὶ ὁρῶ, ὦ Ἴων, καὶ ἔρχομαί γέ σοι ἀποφανού-
533.d.1 μενος ὅ μοι δοκεῖ τοῦτο εἶναι. ἔστι γὰρ τοῦτο τέχνη μὲν
533.d.2 οὐκ ὂν παρὰ σοὶ περὶ Ὁμήρου εὖ λέγειν, ὃ νυνδὴ ἔλεγον,
533.d.3 θεία δὲ δύναμις ἥ σε κινεῖ, ὥσπερ ἐν τῇ λίθῳ ἣν Εὐρι-
533.d.4 πίδης μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡρακλείαν.
533.d.5 καὶ γὰρ αὕτη ἡ λίθος οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει
533.d.6 τοὺς σιδηροῦς, ἀλλὰ καὶ δύναμιν ἐντίθησι τοῖς δακτυλίοις
533.d.7 ὥστ´ αὖ δύνασθαι ταὐτὸν τοῦτο ποιεῖν ὅπερ ἡ λίθος, ἄλλους
533.e.1 ἄγειν δακτυλίους, ὥστ´ ἐνίοτε ὁρμαθὸς μακρὸς πάνυ σιδη-
533.e.2 ρίων καὶ δακτυλίων ἐξ ἀλλήλων ἤρτηται· πᾶσι δὲ τούτοις
533.e.3 ἐξ ἐκείνης τῆς λίθου ἡ δύναμις ἀνήρτηται. οὕτω δὲ καὶ ἡ
533.e.4 Μοῦσα ἐνθέους μὲν ποιεῖ αὐτή, διὰ δὲ τῶν ἐνθέων τούτων
533.e.5 ἄλλων ἐνθουσιαζόντων ὁρμαθὸς ἐξαρτᾶται. πάντες γὰρ οἵ
533.e.6 τε τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοὶ οὐκ ἐκ τέχνης ἀλλ´ ἔνθεοι
533.e.7 ὄντες καὶ κατεχόμενοι πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιή-
533.e.8 ματα, καὶ οἱ μελοποιοὶ οἱ ἀγαθοὶ ὡσαύτως, ὥσπερ οἱ κορυ-
534.a.1 βαντιῶντες οὐκ ἔμφρονες ὄντες ὀρχοῦνται, οὕτω καὶ οἱ μελο-
534.a.2 ποιοὶ οὐκ ἔμφρονες ὄντες τὰ καλὰ μέλη ταῦτα ποιοῦσιν,
534.a.3 ἀλλ´ ἐπειδὰν ἐμβῶσιν εἰς τὴν ἁρμονίαν καὶ εἰς τὸν ῥυθμόν,
534.a.4 βακχεύουσι καὶ κατεχόμενοι, ὥσπερ αἱ βάκχαι ἀρύονται ἐκ
534.a.5 τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμεναι, ἔμφρονες δὲ οὖσαι
534.a.6 οὔ, καὶ τῶν μελοποιῶν ἡ ψυχὴ τοῦτο ἐργάζεται, ὅπερ αὐτοὶ

534.a.7 λέγουσι. λέγουσι γὰρ δήπουθεν πρὸς ἡμᾶς οἱ ποιηταὶ ὅτι
534.b.1 ἀπὸ κρηνῶν μελιρρύτων ἐκ Μουσῶν κήπων τινῶν καὶ ναπῶν
534.b.2 δρεπόμενοι τὰ μέλη ἡμῖν φέρουσιν ὥσπερ αἱ μέλιτται, καὶ
534.b.3 αὐτοὶ οὕτω πετόμενοι· καὶ ἀληθῆ λέγουσι. κοῦφον γὰρ
534.b.4 χρῆμα ποιητής ἐστιν καὶ πτηνὸν καὶ ἱερόν, καὶ οὐ πρότερον
534.b.5 οἷός τε ποιεῖν πρὶν ἂν ἔνθεός τε γένηται καὶ ἔκφρων καὶ
534.b.6 ὁ νοῦς μηκέτι ἐν αὐτῷ ἐνῇ· ἕως δ´ ἂν τουτὶ ἔχῃ τὸ κτῆμα,
534.b.7 ἀδύνατος πᾶς ποιεῖν ἄνθρωπός ἐστιν καὶ χρησμῳδεῖν. ἅτε
534.b.8 οὖν οὐ τέχνῃ ποιοῦντες καὶ πολλὰ λέγοντες καὶ καλὰ περὶ
534.c.1 τῶν πραγμάτων, ὥσπερ σὺ περὶ Ὁμήρου, ἀλλὰ θείᾳ μοίρᾳ,
534.c.2 τοῦτο μόνον οἷός τε ἕκαστος ποιεῖν καλῶς ἐφ´ ὃ ἡ Μοῦσα
534.c.3 αὐτὸν ὥρμησεν, ὁ μὲν διθυράμβους, ὁ δὲ ἐγκώμια, ὁ δὲ
534.c.4 ὑπορχήματα, ὁ δ´ ἔπη, ὁ δ´ ἰάμβους· τὰ δ´ ἄλλα φαῦλος
534.c.5 αὐτῶν ἕκαστός ἐστιν. οὐ γὰρ τέχνῃ ταῦτα λέγουσιν ἀλλὰ
534.c.6 θείᾳ δυνάμει, ἐπεί, εἰ περὶ ἑνὸς τέχνῃ καλῶς ἠπίσταντο
534.c.7 λέγειν, κἂν περὶ τῶν ἄλλων ἁπάντων· διὰ ταῦτα δὲ ὁ θεὸς
534.c.8 ἐξαιρούμενος τούτων τὸν νοῦν τούτοις χρῆται ὑπηρέταις καὶ
534.d.1 τοῖς χρησμῳδοῖς καὶ τοῖς μάντεσι τοῖς θείοις, ἵνα ἡμεῖς οἱ
534.d.2 ἀκούοντες εἰδῶμεν ὅτι οὐχ οὗτοί εἰσιν οἱ ταῦτα λέγοντες
534.d.3 οὕτω πολλοῦ ἄξια, οἷς νοῦς μὴ πάρεστιν, ἀλλ´ ὁ θεὸς αὐτός
534.d.4 ἐστιν ὁ λέγων, διὰ τούτων δὲ φθέγγεται πρὸς ἡμᾶς. μέ-
534.d.5 γιστον δὲ τεκμήριον τῷ λόγῳ Τύννιχος ὁ Χαλκιδεύς, ὃς
534.d.6 ἄλλο μὲν οὐδὲν πώποτε ἐποίησε ποίημα ὅτου τις ἂν ἀξιώ-
534.d.7 σειεν μνησθῆναι, τὸν δὲ παίωνα ὃν πάντες ᾄδουσι, σχεδόν
534.d.8 τι πάντων μελῶν κάλλιστον, ἀτεχνῶς, ὅπερ αὐτὸς λέγει,
"534.e.1 ""εὕρημά τι Μοισᾶν."" ἐν τούτῳ γὰρ δὴ μάλιστά μοι δοκεῖ"
534.e.2 ὁ θεὸς ἐνδείξασθαι ἡμῖν, ἵνα μὴ διστάζωμεν, ὅτι οὐκ ἀνθρώ-
534.e.3 πινά ἐστιν τὰ καλὰ ταῦτα ποιήματα οὐδὲ ἀνθρώπων, ἀλλὰ
534.e.4 θεῖα καὶ θεῶν, οἱ δὲ ποιηταὶ οὐδὲν ἀλλ´ ἢ ἑρμηνῆς εἰσιν

534.e.5 τῶν θεῶν, κατεχόμενοι ἐξ ὅτου ἂν ἕκαστος κατέχηται.
534.e.6 ταῦτα ἐνδεικνύμενος ὁ θεὸς ἐξεπίτηδες διὰ τοῦ φαυλοτάτου
535.a.1 ποιητοῦ τὸ κάλλιστον μέλος ᾖσεν· ἢ οὐ δοκῶ σοι ἀληθῆ
535.a.2 λέγειν, ὦ Ἴων;
535.a.3 {ΙΩΝ.} Ναὶ μὰ τὸν Δία, ἔμοιγε· ἅπτει γάρ πώς μου τοῖς
535.a.4 λόγοις τῆς ψυχῆς, ὦ Σώκρατες, καί μοι δοκοῦσι θείᾳ μοίρᾳ
535.a.5 ἡμῖν παρὰ τῶν θεῶν ταῦτα οἱ ἀγαθοὶ ποιηταὶ ἑρμηνεύειν.
535.a.6 {ΣΩ.} Οὐκοῦν ὑμεῖς αὖ οἱ ῥαψῳδοὶ τὰ τῶν ποιητῶν ἑρμη–
535.a.7 νεύετε;
535.a.8 {ΙΩΝ.} Καὶ τοῦτο ἀληθὲς λέγεις.
535.a.9 {ΣΩ.} Οὐκοῦν ἑρμηνέων ἑρμηνῆς γίγνεσθε;
535.a.10 {ΙΩΝ.} Παντάπασί γε.
535.b.1 {ΣΩ.} Ἔχε δή μοι τόδε εἰπέ, ὦ Ἴων, καὶ μὴ ἀποκρύψῃ
535.b.2 ὅτι ἄν σε ἔρωμαι· ὅταν εὖ εἴπῃς ἔπη καὶ ἐκπλήξῃς μάλιστα
535.b.3 τοὺς θεωμένους, ἢ τὸν Ὀδυσσέα ὅταν ἐπὶ τὸν οὐδὸν ἐφαλ–
535.b.4 λόμενον ᾄδῃς, ἐκφανῆ γιγνόμενον τοῖς μνηστῆρσι καὶ ἐκ–
535.b.5 χέοντα τοὺς ὀιστοὺς πρὸ τῶν ποδῶν, ἢ Ἀχιλλέα ἐπὶ τὸν
535.b.6 Ἕκτορα ὁρμῶντα, ἢ καὶ τῶν περὶ Ἀνδρομάχην ἐλεινῶν τι ἢ
535.b.7 περὶ Ἑκάβην ἢ περὶ Πρίαμον, τότε πότερον ἔμφρων εἶ ἢ ἔξω
535.c.1 σαυτοῦ γίγνῃ καὶ παρὰ τοῖς πράγμασιν οἴεταί σου εἶναι ἡ
535.c.2 ψυχὴ οἷς λέγεις ἐνθουσιάζουσα, ἢ ἐν Ἰθάκῃ οὖσιν ἢ ἐν
535.c.3 Τροίᾳ ἢ ὅπως ἂν καὶ τὰ ἔπη ἔχῃ;
535.c.4 {ΙΩΝ.} Ὡς ἐναργές μοι τοῦτο, ὦ Σώκρατες, τὸ τεκμήριον
535.c.5 εἶπες· οὐ γάρ σε ἀποκρυψάμενος ἐρῶ. ἐγὼ γὰρ ὅταν
535.c.6 ἐλεινόν τι λέγω, δακρύων ἐμπίμπλανταί μου οἱ ὀφθαλμοί·
535.c.7 ὅταν τε φοβερὸν ἢ δεινόν, ὀρθαὶ αἱ τρίχες ἵστανται ὑπὸ
535.c.8 φόβου καὶ ἡ καρδία πηδᾷ.
535.d.1 {ΣΩ.} Τί οὖν; φῶμεν, ὦ Ἴων, ἔμφρονα εἶναι τότε τοῦτον
535.d.2 τὸν ἄνθρωπον, ὃς ἂν κεκοσμημένος ἐσθῆτι ποικίλῃ καὶ

535.d.3 χρυσοῖσι στεφάνοις κλάῃ τ´ ἐν θυσίαις καὶ ἑορταῖς, μηδὲν
535.d.4 ἀπολωλεκὼς τούτων, ἢ φοβῆται πλέον ἢ ἐν δισμυρίοις ἀνθρώ-
535.d.5 ποις ἑστηκὼς φιλίοις, μηδενὸς ἀποδύοντος μηδὲ ἀδικοῦντος;
535.d.6 {ΙΩΝ.} Οὐ μὰ τὸν Δία, οὐ πάνυ, ὦ Σώκρατες, ὥς γε
535.d.7 τἀληθὲς εἰρῆσθαι.
535.d.8 {ΣΩ.} Οἶσθα οὖν ὅτι καὶ τῶν θεατῶν τοὺς πολλοὺς ταὐτὰ
535.d.9 ταῦτα ὑμεῖς ἐργάζεσθε;
535.e.1 {ΙΩΝ.} Καὶ μάλα καλῶς οἶδα· καθορῶ γὰρ ἑκάστοτε
535.e.2 αὐτοὺς ἄνωθεν ἀπὸ τοῦ βήματος κλάοντάς τε καὶ δεινὸν
535.e.3 ἐμβλέποντας καὶ συνθαμβοῦντας τοῖς λεγομένοις. δεῖ γάρ
535.e.4 με καὶ σφόδρ´ αὐτοῖς τὸν νοῦν προσέχειν· ὡς ἐὰν μὲν
535.e.5 κλάοντας αὐτοὺς καθίσω, αὐτὸς γελάσομαι ἀργύριον λαμβά-
535.e.6 νων, ἐὰν δὲ γελῶντας, αὐτὸς κλαύσομαι ἀργύριον ἀπολλύς.
535.e.7 {ΣΩ.} Οἶσθα οὖν ὅτι οὗτός ἐστιν ὁ θεατὴς τῶν δακτυλίων
535.e.8 ὁ ἔσχατος, ὧν ἐγὼ ἔλεγον ὑπὸ τῆς Ἡρακλειώτιδος λίθου
535.e.9 ἀπ´ ἀλλήλων τὴν δύναμιν λαμβάνειν; ὁ δὲ μέσος σὺ ὁ
536.a.1 ῥαψῳδὸς καὶ ὑποκριτής, ὁ δὲ πρῶτος αὐτὸς ὁ ποιητής· ὁ δὲ
536.a.2 θεὸς διὰ πάντων τούτων ἕλκει τὴν ψυχὴν ὅποι ἂν βούληται
536.a.3 τῶν ἀνθρώπων, ἀνακρεμαννὺς ἐξ ἀλλήλων τὴν δύναμιν.
536.a.4 καὶ ὥσπερ ἐκ τῆς λίθου ἐκείνης ὁρμαθὸς πάμπολυς ἐξήρ-
536.a.5 τηται χορευτῶν τε καὶ διδασκάλων καὶ ὑποδιδασκάλων, ἐκ
536.a.6 πλαγίου ἐξηρτημένων τῶν τῆς Μούσης ἐκκρεμαμένων δα-
536.a.7 κτυλίων. καὶ ὁ μὲν τῶν ποιητῶν ἐξ ἄλλης Μούσης, ὁ δὲ
536.a.8 ἐξ ἄλλης ἐξήρτηται—ὀνομάζομεν δὲ αὐτὸ κατέχεται, τὸ δέ
536.b.1 ἐστι παραπλήσιον· ἔχεται γάρ—ἐκ δὲ τούτων τῶν πρώτων
536.b.2 δακτυλίων, τῶν ποιητῶν, ἄλλοι ἐξ ἄλλου αὖ ἠρτημένοι εἰσὶ
536.b.3 καὶ ἐνθουσιάζουσιν, οἱ μὲν ἐξ Ὀρφέως, οἱ δὲ ἐκ Μουσαίου·
536.b.4 οἱ δὲ πολλοὶ ἐξ Ὁμήρου κατέχονταί τε καὶ ἔχονται. ὧν
536.b.5 σύ, ὦ Ἴων, εἷς εἶ καὶ κατέχῃ ἐξ Ὁμήρου, καὶ ἐπειδὰν μέν

536.b.6 τις ἄλλου του ποιητοῦ ᾄδῃ, καθεύδεις τε καὶ ἀπορεῖς ὅτι
536.b.7 λέγῃς, ἐπειδὰν δὲ τούτου τοῦ ποιητοῦ φθέγξηταί τις μέλος,
536.b.8 εὐθὺς ἐγρήγορας καὶ ὀρχεῖταί σου ἡ ψυχὴ καὶ εὐπορεῖς ὅτι
536.c.1 λέγῃς· οὐ γὰρ τέχνῃ οὐδ᾽ ἐπιστήμῃ περὶ Ὁμήρου λέγεις
536.c.2 ἃ λέγεις, ἀλλὰ θείᾳ μοίρᾳ καὶ κατοκωχῇ, ὥσπερ οἱ κορυ–
536.c.3 βαντιῶντες ἐκείνου μόνου αἰσθάνονται τοῦ μέλους ὀξέως
536.c.4 ὃ ἂν ᾖ τοῦ θεοῦ ἐξ ὅτου ἂν κατέχωνται, καὶ εἰς ἐκεῖνο τὸ
536.c.5 μέλος καὶ σχημάτων καὶ ῥημάτων εὐποροῦσι, τῶν δὲ ἄλλων
536.c.6 οὐ φροντίζουσιν· οὕτω καὶ σύ, ὦ Ἴων, περὶ μὲν Ὁμήρου
536.c.7 ὅταν τις μνησθῇ, εὐπορεῖς, περὶ δὲ τῶν ἄλλων ἀπορεῖς·
536.d.1 τούτου δ᾽ ἐστὶ τὸ αἴτιον, ὅ μ᾽ ἐρωτᾷς, δι᾽ ὅτι σὺ περὶ μὲν
536.d.2 Ὁμήρου εὐπορεῖς, περὶ δὲ τῶν ἄλλων οὔ, ὅτι οὐ τέχνῃ ἀλλὰ
536.d.3 θείᾳ μοίρᾳ Ὁμήρου δεινὸς εἶ ἐπαινέτης.
536.d.4 {ΙΩΝ.} Σὺ μὲν εὖ λέγεις, ὦ Σώκρατες· θαυμάζοιμι μεντἂν
536.d.5 εἰ οὕτως εὖ εἴποις, ὥστε με ἀναπεῖσαι ὡς ἐγὼ κατεχόμενος
536.d.6 καὶ μαινόμενος Ὅμηρον ἐπαινῶ. οἶμαι δὲ οὐδ᾽ ἂν σοὶ
536.d.7 δόξαιμι, εἴ μου ἀκούσαις λέγοντος περὶ Ὁμήρου.
536.d.8 {ΣΩ.} Καὶ μὴν ἐθέλω γε ἀκοῦσαι, οὐ μέντοι πρότερον
536.e.1 πρὶν ἄν μοι ἀποκρίνῃ τόδε· ὧν Ὅμηρος λέγει περὶ τίνος
536.e.2 εὖ λέγεις; οὐ γὰρ δήπου περὶ ἁπάντων γε.
536.e.3 {ΙΩΝ.} Εὖ ἴσθι, ὦ Σώκρατες, περὶ οὐδενὸς ὅτου οὔ.
536.e.4 {ΣΩ.} Οὐ δήπου καὶ περὶ τούτων ὧν σὺ μὲν τυγχάνεις
536.e.5 οὐκ εἰδώς, Ὅμηρος δὲ λέγει.
536.e.6 {ΙΩΝ.} Καὶ ταῦτα ποῖά ἐστιν ἃ Ὅμηρος μὲν λέγει, ἐγὼ
536.e.7 δὲ οὐκ οἶδα;
537.a.1 {ΣΩ.} Οὐ καὶ περὶ τεχνῶν μέντοι λέγει πολλαχοῦ Ὅμηρος
537.a.2 καὶ πολλά; οἷον καὶ περὶ ἡνιοχείας—ἐὰν μνησθῶ τὰ ἔπη,
537.a.3 ἐγώ σοι φράσω.
537.a.4 {ΙΩΝ.} Ἀλλ᾽ ἐγὼ ἐρῶ· ἐγὼ γὰρ μέμνημαι.

537.a.5 {ΣΩ.} Εἰπὲ δή μοι ἃ λέγει Νέστωρ Ἀντιλόχῳ τῷ ὑεῖ,
537.a.6 παραινῶν εὐλαβηθῆναι περὶ τὴν καμπὴν ἐν τῇ ἱπποδρομίᾳ
537.a.7 τῇ ἐπὶ Πατρόκλῳ.
537.a.7
537.a.8 {ΙΩΝ.} Κλινθῆναι δέ, φησί, καὶ αὐτὸς ἐυξέστῳ ἐνὶ δίφρῳ
537.b.1 ἦκ´ ἐπ´ ἀριστερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
537.b.2 κένσαι ὁμοκλήσας, εἶξαί τέ οἱ ἡνία χερσίν.
537.b.3 ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
537.b.4 ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
537.b.5 κύκλου ποιητοῖο· λίθου δ´ ἀλέασθαι ἐπαυρεῖν.
537.b.5
537.c.1 {ΣΩ.} Ἀρκεῖ. ταῦτα δή, ὦ Ἴων, τὰ ἔπη εἴτε ὀρθῶς λέγει
537.c.2 Ὅμηρος εἴτε μή, πότερος ἂν γνοίη ἄμεινον, ἰατρὸς ἢ ἡνίο-
537.c.3 χος; {—ΙΩΝ.} Ἡνίοχος δήπου. {—ΣΩ.} Πότερον ὅτι τέχνην
537.c.4 ταύτην ἔχει ἢ κατ´ ἄλλο τι; {—ΙΩΝ.} Οὔκ, ἀλλ´ ὅτι τέχνην.
537.c.5 {—ΣΩ.} Οὐκοῦν ἑκάστῃ τῶν τεχνῶν ἀποδέδοταί τι ὑπὸ τοῦ
537.c.6 θεοῦ ἔργον οἵᾳ τε εἶναι γιγνώσκειν; οὐ γάρ που ἃ κυβερνη-
537.c.7 τικῇ γιγνώσκομεν, γνωσόμεθα καὶ ἰατρικῇ. {—ΙΩΝ.} Οὐ δῆτα.
537.c.8 {—ΣΩ.} Οὐδέ γε ἃ ἰατρικῇ, ταῦτα καὶ τεκτονικῇ. {—ΙΩΝ.}
537.d.1 Οὐ δῆτα. {—ΣΩ.} Οὐκοῦν οὕτω καὶ κατὰ πασῶν τῶν τεχνῶν,
537.d.2 ἃ τῇ ἑτέρᾳ τέχνῃ γιγνώσκομεν, οὐ γνωσόμεθα τῇ ἑτέρᾳ;
537.d.3 τόδε δέ μοι πρότερον τούτου ἀπόκριναι· τὴν μὲν ἑτέραν φῂς
537.d.4 εἶναί τινα τέχνην, τὴν δ´ ἑτέραν; {—ΙΩΝ.} Ναί. {—ΣΩ.} Ἆρα
537.d.5 ὥσπερ ἐγὼ τεκμαιρόμενος, ὅταν ἡ μὲν ἑτέρων πραγμάτων ᾖ
537.d.6 ἐπιστήμη, ἡ δ´ ἑτέρων, οὕτω καλῶ τὴν μὲν ἄλλην, τὴν δὲ ἄλλην
537.e.1 τέχνην, οὕτω καὶ σύ; {—ΙΩΝ.} Ναί. {—ΣΩ.} Εἰ γάρ που τῶν
537.e.2 αὐτῶν πραγμάτων ἐπιστήμη εἴη τις, τί ἂν τὴν μὲν ἑτέραν
537.e.3 φαῖμεν εἶναι, τὴν δ´ ἑτέραν, ὁπότε γε ταὐτὰ εἴη εἰδέναι ἀπ´
537.e.4 ἀμφοτέρων; ὥσπερ ἐγώ τε γιγνώσκω ὅτι πέντε εἰσὶν οὗτοι

537.e.5 οἱ δάκτυλοι, καὶ σύ, ὥσπερ ἐγώ, περὶ τούτων ταὐτὰ γιγνώ-
537.e.6 σκεις· καὶ εἴ σε ἐγὼ ἐροίμην εἰ τῇ αὐτῇ τέχνῃ γιγνώσκομεν
537.e.7 τῇ ἀριθμητικῇ τὰ αὐτὰ ἐγώ τε καὶ σὺ ἢ ἄλλῃ, φαίης ἂν
537.e.8 δήπου τῇ αὐτῇ. {—ΙΩΝ.} Ναί.
538.a.1 {ΣΩ.} Ὃ τοίνυν ἄρτι ἔμελλον ἐρήσεσθαί σε, νυνὶ εἰπέ, εἰ
538.a.2 κατὰ πασῶν τῶν τεχνῶν οὕτω σοι δοκεῖ, τῇ μὲν αὐτῇ τέχνῃ
538.a.3 τὰ αὐτὰ ἀναγκαῖον εἶναι γιγνώσκειν, τῇ δ´ ἑτέρᾳ μὴ τὰ αὐτά,
538.a.4 ἀλλ´ εἴπερ ἄλλη ἐστίν, ἀναγκαῖον καὶ ἕτερα γιγνώσκειν. {—
538.a.5 ΙΩΝ.} Οὕτω μοι δοκεῖ, ὦ Σώκρατες. {—ΣΩ.} Οὐκοῦν ὅστις ἂν
538.a.6 μὴ ἔχῃ τινὰ τέχνην, ταύτης τῆς τέχνης τὰ λεγόμενα ἢ
538.a.7 πραττόμενα καλῶς γιγνώσκειν οὐχ οἷός τ´ ἔσται; {—ΙΩΝ.}
538.b.1 Ἀληθῆ λέγεις. {—ΣΩ.} Πότερον οὖν περὶ τῶν ἐπῶν ὧν εἶπες,
538.b.2 εἴτε καλῶς λέγει Ὅμηρος εἴτε μή, σὺ κάλλιον γνώσῃ ἢ
538.b.3 ἡνίοχος; {—ΙΩΝ.} Ἡνίοχος. {—ΣΩ.} Ῥαψῳδὸς γάρ που εἶ ἀλλ´
538.b.4 οὐχ ἡνίοχος. {—ΙΩΝ.} Ναί. {—ΣΩ.} Ἡ δὲ ῥαψῳδικὴ τέχνη
538.b.5 ἑτέρα ἐστὶ τῆς ἡνιοχικῆς; {—ΙΩΝ.} Ναί. {—ΣΩ.} Εἰ ἄρα ἑτέρα,
538.b.6 περὶ ἑτέρων καὶ ἐπιστήμη πραγμάτων ἐστίν. {—ΙΩΝ.} Ναί.
538.b.7 {ΣΩ.} Τί δὲ δὴ ὅταν Ὅμηρος λέγῃ ὡς τετρωμένῳ τῷ
538.b.8 Μαχάονι Ἑκαμήδη ἡ Νέστορος παλλακὴ κυκεῶνα πίνειν
538.c.1 δίδωσι; καὶ λέγει πως οὕτως—
538.c.2 οἴνῳ πραμνείῳ, φησίν, ἐπὶ δ´ αἴγειον κνῆ τυρὸν
538.c.3 κνήστι χαλκείῃ· παρὰ δὲ κρόμυον ποτῷ ὄψον·
538.c.3
538.c.4 ταῦτα εἴτε ὀρθῶς λέγει Ὅμηρος εἴτε μή, πότερον ἰατρικῆς
538.c.5 ἐστι διαγνῶναι καλῶς ἢ ῥαψῳδικῆς;
538.c.6 {ΙΩΝ.} Ἰατρικῆς.
538.c.7 {ΣΩ.} Τί δέ, ὅταν λέγῃ Ὅμηρος—
538.c.7
538.d.1 ἡ δὲ μολυβδαίνῃ ἰκέλη ἐς βυσσὸν ἵκανεν,

538.d.2 ἥ τε κατ´ ἀγραύλοιο βοὸς κέρας ἐμμεμαυῖα

538.d.3 ἔρχεται ὠμηστῇσι μετ´ ἰχθύσι πῆμα φέρουσα·

538.d.3

538.d.4 ταῦτα πότερον φῶμεν ἁλιευτικῆς εἶναι τέχνης μᾶλλον κρῖναι

538.d.5 ἢ ῥαψῳδικῆς, ἅττα λέγει καὶ εἴτε καλῶς εἴτε μή;

538.d.6 {ΙΩΝ.} Δῆλον δή, ὦ Σώκρατες, ὅτι ἁλιευτικῆς.

538.d.7 {ΣΩ.} Σκέψαι δή, σοῦ ἐρομένου, εἰ ἔροιό με· "Ἐπειδὴ

538.e.1 τοίνυν, ὦ Σώκρατες, τούτων τῶν τεχνῶν ἐν Ὁμήρῳ εὑρίσκεις

538.e.2 ἃ προσήκει ἑκάστῃ διακρίνειν, ἴθι μοι ἔξευρε καὶ τὰ τοῦ

538.e.3 μάντεώς τε καὶ μαντικῆς, ποῖά ἐστιν ἃ προσήκει αὐτῷ οἵῳ

538.e.4 τ´ εἶναι διαγιγνώσκειν, εἴτε εὖ εἴτε κακῶς πεποίηται" —

538.e.5 σκέψαι ὡς ῥᾳδίως τε καὶ ἀληθῆ ἐγώ σοι ἀποκρινοῦμαι.

538.e.6 πολλαχοῦ μὲν γὰρ καὶ ἐν Ὀδυσσείᾳ λέγει, οἷον καὶ ἃ ὁ

538.e.7 τῶν Μελαμποδιδῶν λέγει μάντις πρὸς τοὺς μνηστῆρας,

538.e.8 Θεοκλύμενος—

538.e.8

539.a.1 δαιμόνιοι, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων

539.a.2 εἰλύαται κεφαλαί τε πρόσωπά τε νέρθε τε γυῖα,

539.a.3 οἰμωγὴ δὲ δέδηε, δεδάκρυνται δὲ παρειαί·

539.a.4 εἰδώλων τε πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλὴ

539.a.5 ἱεμένων ἔρεβόσδε ὑπὸ ζόφον· ἠέλιος δὲ

539.b.1 οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ´ ἐπιδέδρομεν ἀχλύς·

539.b.2 πολλαχοῦ δὲ καὶ ἐν Ἰλιάδι, οἷον καὶ ἐπὶ τειχομαχίᾳ· λέγει

539.b.3 γὰρ καὶ ἐνταῦθα—

539.b.4 ὄρνις γάρ σφιν ἐπῆλθε περησέμεναι μεμαῶσιν,

539.b.5 αἰετὸς ὑψιπέτης, ἐπ´ ἀριστερὰ λαὸν ἐέργων,

539.c.1 φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον,

539.c.2 ζῳόν, ἔτ´ ἀσπαίροντα· καὶ οὔπω λήθετο χάρμης.

539.c.3 κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ στῆθος παρὰ δειρὴν

539.c.4 ἰδνωθεὶς ὀπίσω, ὁ δ´ ἀπὸ ἕθεν ἧκε χαμᾶζε
539.c.5 ἀλγήσας ὀδύνῃσι, μέσῳ δ´ ἐνὶ κάββαλ´ ὁμίλῳ·
539.d.1 αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇς ἀνέμοιο.
539.d.1
539.d.2 ταῦτα φήσω καὶ τὰ τοιαῦτα τῷ μάντει προσήκειν καὶ σκο-
539.d.3 πεῖν καὶ κρίνειν.
539.d.4 {ΙΩΝ.} Ἀληθῆ γε σὺ λέγων, ὦ Σώκρατες.
539.d.5 {ΣΩ.} Καὶ σύ γε, ὦ Ἴων, ἀληθῆ ταῦτα λέγεις. ἴθι δὴ καὶ
539.d.6 σὺ ἐμοί, ὥσπερ ἐγὼ σοὶ ἐξέλεξα καὶ ἐξ Ὀδυσσείας καὶ ἐξ
539.d.7 Ἰλιάδος ὁποῖα τοῦ μάντεώς ἐστι καὶ ὁποῖα τοῦ ἰατροῦ καὶ
539.e.1 ὁποῖα τοῦ ἁλιέως, οὕτω καὶ σὺ ἐμοὶ ἔκλεξον, ἐπειδὴ καὶ
539.e.2 ἐμπειρότερος εἶ ἐμοῦ τῶν Ὁμήρου, ὁποῖα τοῦ ῥαψῳδοῦ ἐστιν,
539.e.3 ὦ Ἴων, καὶ τῆς τέχνης τῆς ῥαψῳδικῆς, ἃ τῷ ῥαψῳδῷ προσ-
539.e.4 ήκει καὶ σκοπεῖσθαι καὶ διακρίνειν παρὰ τοὺς ἄλλους
539.e.5 ἀνθρώπους.
539.e.6 {ΙΩΝ.} Ἐγὼ μέν φημι, ὦ Σώκρατες, ἅπαντα.
539.e.7 {ΣΩ.} Οὐ σύ γε φῄς, ὦ Ἴων, ἅπαντα· ἢ οὕτως ἐπιλήσμων
539.e.8 εἶ; καίτοι οὐκ ἂν πρέποι γε ἐπιλήσμονα εἶναι ῥαψῳδὸν
539.e.9 ἄνδρα.
540.a.1 {ΙΩΝ.} Τί δὲ δὴ ἐπιλανθάνομαι;
540.a.2 {ΣΩ.} Οὐ μέμνησαι ὅτι ἔφησθα τὴν ῥαψῳδικὴν τέχνην
540.a.3 ἑτέραν εἶναι τῆς ἡνιοχικῆς; {—ΙΩΝ.} Μέμνημαι. {—ΣΩ.} Οὐκ-
540.a.4 οῦν καὶ ἑτέραν οὖσαν ἕτερα γνώσεσθαι ὡμολόγεις; {—ΙΩΝ.}
540.a.5 Ναί. {—ΣΩ.} Οὐκ ἄρα πάντα γε γνώσεται ἡ ῥαψῳδικὴ κατὰ
540.a.6 τὸν σὸν λόγον οὐδὲ ὁ ῥαψῳδός. {—ΙΩΝ.} Πλήν γε ἴσως τὰ
540.a.7 τοιαῦτα, ὦ Σώκρατες.
540.b.1 {ΣΩ.} Τὰ τοιαῦτα δὲ λέγεις πλὴν τὰ τῶν ἄλλων τεχνῶν
540.b.2 σχεδόν τι· ἀλλὰ ποῖα δὴ γνώσεται, ἐπειδὴ οὐχ ἅπαντα;
540.b.3 {ΙΩΝ.} Ἃ πρέπει, οἶμαι ἔγωγε, ἀνδρὶ εἰπεῖν καὶ ὁποῖα

540.b.4 γυναικί, καὶ ὁποῖα δούλῳ καὶ ὁποῖα ἐλευθέρῳ, καὶ ὁποῖα
540.b.5 ἀρχομένῳ καὶ ὁποῖα ἄρχοντι.
540.b.6 {ΣΩ.} Ἆρα ὁποῖα ἄρχοντι, λέγεις, ἐν θαλάττῃ χειμαζομένου
540.b.7 πλοίου πρέπει εἰπεῖν, ὁ ῥαψῳδὸς γνώσεται κάλλιον ἢ ὁ
540.b.8 κυβερνήτης; {—ΙΩΝ.} Οὔκ, ἀλλὰ ὁ κυβερνήτης τοῦτό γε. {—
540.c.1 ΣΩ.} Ἀλλ´ ὁποῖα ἄρχοντι κάμνοντος πρέπει εἰπεῖν, ὁ
540.c.2 ῥαψῳδὸς γνώσεται κάλλιον ἢ ὁ ἰατρός; {—ΙΩΝ.} Οὐδὲ
540.c.3 τοῦτο. {—ΣΩ.} Ἀλλ´ οἷα δούλῳ πρέπει, λέγεις; {—ΙΩΝ.}
540.c.4 Ναί. {—ΣΩ.} Οἷον βουκόλῳ λέγεις δούλῳ ἃ πρέπει εἰπεῖν
540.c.5 ἀγριαινουσῶν βοῶν παραμυθουμένῳ, ὁ ῥαψῳδὸς γνώσεται
540.c.6 ἀλλ´ οὐχ ὁ βουκόλος; {—ΙΩΝ.} Οὐ δῆτα. {—ΣΩ.} Ἀλλ´ οἷα
540.c.7 γυναικὶ πρέποντά ἐστιν εἰπεῖν ταλασιουργῷ περὶ ἐρίων
540.d.1 ἐργασίας; {—ΙΩΝ.} Οὔ. {—ΣΩ.} Ἀλλ´ οἷα ἀνδρὶ πρέπει εἰπεῖν
540.d.2 γνώσεται στρατηγῷ στρατιώταις παραινοῦντι; {—ΙΩΝ.} Ναί,
540.d.3 τὰ τοιαῦτα γνώσεται ὁ ῥαψῳδός.
540.d.4 {ΣΩ.} Τί δέ; ἡ ῥαψῳδικὴ τέχνη στρατηγική ἐστιν;
540.d.5 {ΙΩΝ.} Γνοίην γοῦν ἂν ἔγωγε οἷα στρατηγὸν πρέπει εἰπεῖν.
540.d.6 {ΣΩ.} Ἴσως γὰρ εἶ καὶ στρατηγικός, ὦ Ἴων. καὶ γὰρ εἰ
540.d.7 ἐτύγχανες ἱππικὸς ὢν ἅμα καὶ κιθαριστικός, ἔγνως ἂν ἵππους
540.e.1 εὖ καὶ κακῶς ἱππαζομένους· ἀλλ´ εἴ σ´ ἐγὼ ἠρόμην· "Ποτέρᾳ
540.e.2 δὴ τέχνῃ, ὦ Ἴων, γιγνώσκεις τοὺς εὖ ἱππαζομένους ἵππους;
540.e.3 ᾗ ἱππεὺς εἶ ἢ ᾗ κιθαριστής;" τί ἄν μοι ἀπεκρίνω; {—ΙΩΝ.}
540.e.4 Ἧι ἱππεύς, ἔγωγ´ ἄν. {—ΣΩ.} Οὐκοῦν εἰ καὶ τοὺς εὖ κιθαρί-
540.e.5 ζοντας διεγίγνωσκες, ὡμολόγεις ἄν, ᾗ κιθαριστὴς εἶ, ταύτῃ
540.e.6 διαγιγνώσκειν, ἀλλ´ οὐχ ᾗ ἱππεύς. {—ΙΩΝ.} Ναί. {—ΣΩ.}
540.e.7 Ἐπειδὴ δὲ τὰ στρατιωτικὰ γιγνώσκεις, πότερον ᾗ στρατη-
540.e.8 γικὸς εἶ γιγνώσκεις ἢ ᾗ ῥαψῳδὸς ἀγαθός; {—ΙΩΝ.} Οὐδὲν
540.e.9 ἔμοιγε δοκεῖ διαφέρειν.
541.a.1 {ΣΩ.} Πῶς; οὐδὲν λέγεις διαφέρειν; μίαν λέγεις τέχνην

541.a.2 εἶναι τὴν ῥαψῳδικὴν καὶ τὴν στρατηγικὴν ἢ δύο; {—ΙΩΝ.} Μία
541.a.3 ἔμοιγε δοκεῖ. {—ΣΩ.} Ὅστις ἄρα ἀγαθὸς ῥαψῳδός ἐστιν, οὗτος
541.a.4 καὶ ἀγαθὸς στρατηγὸς τυγχάνει ὤν; {—ΙΩΝ.} Μάλιστα, ὦ Σώ-
541.a.5 κρατες. {—ΣΩ.} Οὐκοῦν καὶ ὅστις ἀγαθὸς στρατηγὸς τυγχάνει
541.a.6 ὤν, ἀγαθὸς καὶ ῥαψῳδός ἐστιν. {—ΙΩΝ.} Οὐκ αὖ μοι δοκεῖ
541.a.7 τοῦτο. {—ΣΩ.} Ἀλλ᾽ ἐκεῖνο μὴν δοκεῖ σοι, ὅστις γε ἀγαθὸς
541.b.1 ῥαψῳδός, καὶ στρατηγὸς ἀγαθὸς εἶναι; {—ΙΩΝ.} Πάνυ γε. {—
541.b.2 ΣΩ.} Οὐκοῦν σὺ τῶν Ἑλλήνων ἄριστος ῥαψῳδὸς εἶ; {—ΙΩΝ.}
541.b.3 Πολύ γε, ὦ Σώκρατες. {—ΣΩ.} Ἦ καὶ στρατηγός, ὦ Ἴων, τῶν
541.b.4 Ἑλλήνων ἄριστος εἶ; {—ΙΩΝ.} Εὖ ἴσθι, ὦ Σώκρατες· καὶ
541.b.5 ταῦτά γε ἐκ τῶν Ὁμήρου μαθών.
541.b.6 {ΣΩ.} Τί δή ποτ᾽ οὖν πρὸς τῶν θεῶν, ὦ Ἴων, ἀμφότερα
541.b.7 ἄριστος ὢν τῶν Ἑλλήνων, καὶ στρατηγὸς καὶ ῥαψῳδός,
541.b.8 ῥαψῳδεῖς μὲν περιιὼν τοῖς Ἕλλησι, στρατηγεῖς δ᾽ οὔ; ἢ
541.c.1 ῥαψῳδοῦ μὲν δοκεῖ σοι χρυσῷ στεφάνῳ ἐστεφανωμένου
541.c.2 πολλὴ χρεία εἶναι τοῖς Ἕλλησι, στρατηγοῦ δὲ οὐδεμία;
541.c.3 {ΙΩΝ.} Ἡ μὲν γὰρ ἡμετέρα, ὦ Σώκρατες, πόλις ἄρχεται
541.c.4 ὑπὸ ὑμῶν καὶ στρατηγεῖται καὶ οὐδὲν δεῖται στρατηγοῦ, ἡ δὲ
541.c.5 ὑμετέρα καὶ ἡ Λακεδαιμονίων οὐκ ἄν με ἕλοιτο στρατηγόν·
541.c.6 αὐτοὶ γὰρ οἴεσθε ἱκανοὶ εἶναι.
541.c.7 {ΣΩ.} Ὦ βέλτιστε Ἴων, Ἀπολλόδωρον οὐ γιγνώσκεις τὸν
541.c.8 Κυζικηνόν;
541.c.9 {ΙΩΝ.} Ποῖον τοῦτον;
541.c.10 {ΣΩ.} Ὃν Ἀθηναῖοι πολλάκις ἑαυτῶν στρατηγὸν ᾕρηνται
541.d.1 ξένον ὄντα· καὶ Φανοσθένη τὸν Ἄνδριον καὶ Ἡρακλείδην τὸν
541.d.2 Κλαζομένιον, οὓς ἥδε ἡ πόλις ξένους ὄντας, ἐνδειξαμένους
541.d.3 ὅτι ἄξιοι λόγου εἰσί, καὶ εἰς στρατηγίας καὶ εἰς τὰς ἄλλας
541.d.4 ἀρχὰς ἄγει· Ἴωνα δ᾽ ἄρα τὸν Ἐφέσιον οὐχ αἱρήσεται
541.d.5 στρατηγὸν καὶ τιμήσει, ἐὰν δοκῇ ἄξιος λόγου εἶναι; τί δέ;

541.d.6 οὐκ Ἀθηναῖοι μέν ἐστε οἱ Ἐφέσιοι τὸ ἀρχαῖον, καὶ ἡ Ἔφεσος
541.e.1 οὐδεμιᾶς ἐλάττων πόλεως; ἀλλὰ γὰρ σύ, ὦ Ἴων, εἰ μὲν ἀληθῆ
541.e.2 λέγεις ὡς τέχνῃ καὶ ἐπιστήμῃ οἷός τε εἶ Ὅμηρον ἐπαινεῖν,
541.e.3 ἀδικεῖς, ὅστις ἐμοὶ ὑποσχόμενος ὡς πολλὰ καὶ καλὰ περὶ
541.e.4 Ὁμήρου ἐπίστασαι καὶ φάσκων ἐπιδείξειν, ἐξαπατᾷς με καὶ
541.e.5 πολλοῦ δεῖς ἐπιδεῖξαι, ὅς γε οὐδὲ ἅττα ἐστὶ ταῦτα περὶ
541.e.6 ὧν δεινὸς εἶ ἐθέλεις εἰπεῖν, πάλαι ἐμοῦ λιπαροῦντος, ἀλλὰ
541.e.7 ἀτεχνῶς ὥσπερ ὁ Πρωτεὺς παντοδαπὸς γίγνῃ στρεφόμενος
541.e.8 ἄνω καὶ κάτω, ἕως τελευτῶν διαφυγών με στρατηγὸς ἀνεφά-
542.a.1 νης, ἵνα μὴ ἐπιδείξῃς ὡς δεινὸς εἶ τὴν περὶ Ὁμήρου σοφίαν.
542.a.2 εἰ μὲν οὖν τεχνικὸς ὤν, ὅπερ νυνδὴ ἔλεγον, περὶ Ὁμήρου
542.a.3 ὑποσχόμενος ἐπιδείξειν ἐξαπατᾷς με, ἄδικος εἶ· εἰ δὲ μὴ
542.a.4 τεχνικὸς εἶ, ἀλλὰ θείᾳ μοίρᾳ κατεχόμενος ἐξ Ὁμήρου μηδὲν
542.a.5 εἰδὼς πολλὰ καὶ καλὰ λέγεις περὶ τοῦ ποιητοῦ, ὥσπερ ἐγὼ
542.a.6 εἶπον περὶ σοῦ, οὐδὲν ἀδικεῖς. ἑλοῦ οὖν πότερα βούλει
542.a.7 νομίζεσθαι ὑπὸ ἡμῶν ἄδικος ἀνὴρ εἶναι ἢ θεῖος.
542.b.1 {ΙΩΝ.} Πολὺ διαφέρει, ὦ Σώκρατες· πολὺ γὰρ κάλλιον τὸ
542.b.2 θεῖον νομίζεσθαι.
542.b.3 {ΣΩ.} Τοῦτο τοίνυν τὸ κάλλιον ὑπάρχει σοι παρ´ ἡμῖν, ὦ
542.b.4 Ἴων, θεῖον εἶναι καὶ μὴ τεχνικὸν περὶ Ὁμήρου ἐπαινέτην.